eul_wid: eoc-ab

*Ὄκελλος ὁ Λευκανός* · Ocellus of Lucania

# Testimonies

*Μαρτυρίαι*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection
**Affiliation:** Pythagorean

1 IAMBL. V. P. 267 Λευκανοὶ Ὄκκελος καὶ Ὄκκιλος [so] ἀδελφοί. Βυνδάκου ἀδελφή, Ὀκκελὼ καὶ Ἐκκελὼ τὼ Λευκανώ.

2 CENSORIN. 4, 3 sed prior illa sententia qua semper humanum genus fuisse creditur auctores habet Pythagoran Samium et Occelum Lucanum et Archytan Tarentinum omnesque adeo Pythagoricos.

3 PHILO de aetern. mund. p. 5, 2 Cumont ἔνιοι δ' οὐκ Ἀριστοτέλην τῆς δόξης εὑρετὴν λέγουσιν ἀλλὰ τῶν Πυθαγορείων τινάς. ἐγὼ δὲ καὶ Ὀκέλλου [so] συγγράμματι, Λευκανοῦ γένος, ἐπιγραφομένωι Περὶ τῆς τοῦ παντὸς φύσεως ἐνέτυχον, ἐν ὧι ἀγένητόν τε καὶ ἄφθαρτον οὐκ ἀπεφαίνετο μόνον, ἀλλὰ καὶ δι' ἀποδείξεων κατεσκεύαζε τὸν κόσμον εἶναι.

3a SEXT. adv. math. X 316 ἐκ πέντε δὲ (sc. ἐγέννησαν τὰ πάντα) Ὄκκελος ὁ Λευκανὸς καὶ Ἀριστοτέλης· συμπαρέλαβον γὰρ τοῖς τέσσαρσι στοιχείοις τὸ πέμπτον καὶ κυκλοφορητικὸν σῶμα ἐξ οὗ λέγουσιν εἶναι τὰ οὐράνια.

4 DIOG. VIII 80 καλῶς ποιεῖς ὅτι ἀποπέφευγας ἐκ τᾶς ἀρρωστίας. ταῦτα γὰρ αὐτός τυ ἐπέσταλκας καὶ τοὶ περὶ Λαμίσκον ἀπάγγελον. περὶ δὲ τῶν ὑπομνημάτων ἐπεμελήθημες καὶ ἀνήλθομες ὡς Λευκανὼς καὶ ἐνετύχομες τοῖς Ὀκκέλω ἐκγόνοις. τὰ μὲν ὦν Περὶ νόμω καὶ Βασιλήίας καὶ Ὁσιότατος καὶ τᾶς τῶ παντὸς γενέσιος αὐτοί τε ἔχομες καὶ τὶν ἀπεστάλκαμες ... (81) τὰ μὲν παρὰ σοῦ ἐλθόντα ὑπομνήματα θαυμαστῶς ἄσμενοί τε ἐλάβομεν καὶ τοῦ γράψαντος αὐτὰ ἠγάσθημεν ὡς ἔνι μάλιστα, καὶ ἔδοξεν ἡμῖν ἀνὴρ ἄξιος ἐκείνων τῶν παλαιῶν προγόνων. λέγονται γὰρ δὴ οἱ ἄνδρες οὗτοι Μυραῖοι εἶναι (οὗτοι δ' ἦσαν τῶν ἐπὶ Λαομέδοντος ἐξαναστάντων Τρώων), ἄνδρες ἀγαθοί, ὡς ὁ παραδεδομένος μῦθος δηλοῖ ...

5 SYR. in Metaph. 175, 7 Kroll οὔτε τὸν περὶ τῶν αἰσθητῶν λόγον πάντηι παρελίμπανον ὡς δηλοῖ τὰ Ἐκέλλου μὲν Περὶ τᾶς τῶ παντὸς φύσιος, ἐξ ὧν τὰ Περὶ γενέσεως καὶ φθορᾶς μονονουχὶ μεταβεβλῆσθαι δοκεῖ, τοῦ Τιμαίου δὲ τὰ πλεῖστα (!).

6 STOB. Ecl. I 20, 3 Ὀκέλλου ... ἐν τοῖς Περὶ τᾶς τοῦ παντὸς φύσεως. I 13, 2 ἐν τῶι Περὶ νόμου.

8 I. Lyd. de mens. II 8 [p. 27, 4 W.] ἴσμεν γάρ, ὅτι ἡ τριὰς τὴν τῶν θείων πρόοδον ἐκίνησε καὶ στάσιν αὐτοῖς τὴν αἰώνιον ἀπειργάσατο ἐν τῶι αὐτῶι εἴδει, ὥς φησιν Ὄκελλος ὁ Πυθαγόρειος ῥήμασι τούτοις· ‘ ἡ τριὰς πρώτη συνέστησεν ἀρχή ν , μεσότητα καὶ τελευτήν ‘.